# 08-12- ΟΡΘΡΟΣ ΑΓΙΟΥ ΠΑΤΑΠΙΟΥ

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος πλ. α'.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

## ΑΠΟΛΥΤΙΚΙΑ

Ἀπολυτίκιον. Ἦχος πλ. α'

Τὸν Συνάναρχον Λόγον.

Ἐξ Αἰγύπτου ἐκλάμψας Πάτερ Πατάπιε, ἐν Βυζαντίῳ ἐμπρέπεις τῇ ἰσαγγέλῳ ζωῇ, καὶ ὡς θεῖον θησαυρὸν ἡμῖν δεδώρησαι, τὸ λείψανόν σου τὸ σεπτόν, ἀναβλύζον μυστικῶς, τὴν χάριν τοῦ Παρακλήτου, τοῖς τῇ ἁγίᾳ Μονῇ σου, προσερχομένοις μετὰ πίστεως.

Δόξα Πατρί... Ἦχος α'

Γερανείων τὸ κλέος, Κορινθίας τὸ καύχημα, καὶ μοναζουσῶν νῦν προστάτης, ἀνεδείχθης Πάτερ Πατάπιε. Ἀσκήσεσι, νηστείαις προσευχαῖς, νῦν ἔχεις παρρησίαν πρὸς Θεόν, ἀδιαλείπτως ἱκετεύειν ὑπὲρ ὑμῶν, τῶν κατακρίτων δούλων σου. Δόξα τῷ δοξασθέντι διὰ σοῦ, δόξα τῷ σὲ ἐνισχύσαντι, δόξα τῷ φωτίσαντι ἡμᾶς, διὰ τῆς σῆς ἀσκήσεως.

Καὶ νῦν...

Θεοτοκίον. Ἦχος α'

Τοῦ Γαβριὴλ φθεγξαμένου Σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν Σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ Δίκαιος Δαβίδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην Σου. Δόξα τῷ ἐνοικήσαντι ἐν Σοί, δόξα τῷ προελθόντι ἐκ Σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου Σου.

Μικρά Συναπτή

Ἔτι καὶ ἔτι...

Κύριε, ἐλέησον

Ἀντιλαβοῦ, σῶσον...

Κύριε, ἐλέησον

Τῆς Παναγίας, ἀχράντου...

Σοί, Κύριε.

Ὅτι Σὸν τὸ κράτος...

Ἀμήν.

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.

Ἦχος α'. Τὸν τάφον Σου, Σωτήρ.

Ὡς ἦρας τὸν Σταυρόν, τοῦ Σωτῆρος ἐπ' ὤμων, προθύμως τὰ φθαρτά, καταλέλοιπας πάντα, καὶ ζέοντι τῷ πνεύματι, ἐν ἐρήμῳ κατῴκησας, δι' ἀσκήσεως, συντονωτάτης πρὸς ὕψος, ἀναγόμενος, θεωριῶν οὐρανίων, Πατάπιε Ὅσιε.

Δόξα Πατρί...Καὶ νῦν...

Θεοτοκίον.

Τεκοῦσα ἐν σαρκί, τὸν Ὑπέρθεον Λόγον, λυτρούμενον ἡμᾶς τῆς ἀρχαίας κατάρας, παρθένος ἀδιάφθορος, ὡς πρὸ τόκου μεμένηκας, Ἀειπάρθενε, εὐλογημένη Μαρία· ὅθεν δέομαι, φθοροποιῶν νοσημάτων, τὸν νοῦν μου ἀπάλλαξον.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀπὸ Θεοῦ καθοδηγούμενος Πάτερ, ἐκ τῆς ἐρήμου Κωνσταντίνου τὴν πόλιν, θεοπρεπῶς κατέλαβες Πατάπιε, ἔνθα ὥσπερ Ἄγγελος, σαρκοφόρος ὡράθης, καὶ πλεῖστα ἰάματα, ἐπετέλεσας Πάτερ, καὶ μεταστὰς πρὸς δόξαν οὐρανῶν, ὑπὲρ τοῦ κόσμου, πρεσβεύεις ἑκάστοτε.

Δόξα Πατρί...Καὶ νῦν...

Θεοτοκίον.

Σωματικῶς τὸν Ὑπερούσιον Λόγον, οὐσιωθέντα ἐξ ἁγνῶν Σου αἱμάτων, ὑπερφυῶς Πανάμωμε γεγέννηκας· ὅθεν ὡς αἰτίαν Σε, τῆς ἡμῶν σωτηρίας, καὶ πύλην εἰσάγουσαν, πρὸς μονὰς οὐρανίους, ὑμνολογοῦμεν πᾶσαι γενεαί, καὶ μεγαλύνομεν Κόρη τὴν δόξαν Σου.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τὰ Γεράνεια ὄρη ὡς θησαυρόν, τὸ σὸν λείψανον Πάτερ ὡς ἀληθῶς, τὸ θεῖον ἐδέξαντο, δοξασθὲν θείᾳ χάριτι, ἐν ᾧ Μονὴ ἁγία πιστῶς ᾠκοδόμηται, ἔνθα σεμνῶν γυναίων, συνήθροισται ὅμιλος. Ὅθεν Λουτρακίου, καὶ Κορίνθου αἱ πόλεις, τελοῦσαι τὴν μνήμην σου, τὴν σὴν χάριν κηρύττουσι, θεοφόρε Πατάπιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων, ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Δόξα Πατρί...

Καὶ νῦν...

Θεοτοκίον.

Ἐκ γαστρός Σου προῆλθε μετὰ σαρκός, ὁ ἀνέσπερος Ἥλιος τῆς ζωῆς, καὶ κόσμον ἐφώτισε, τῆς Αὐτοῦ ἐπιγνώσεως, ταῖς νοηταῖς ἀκτῖσι, τοῦ σκότους τὸν ἄρχοντα, διὰ Σταυροῦ ὀλέσας, ὁ φύσει φιλάνθρωπος. Ὅθεν τῆς ψυχῆς μου, σκοτισθέντα ἀθλίως, τὰ ὄμματα φώτισον, τῷ φωτὶ τῆς Σῆς χάριτος, φωτοτόκε Απείρανδρε, καὶ ἴθυνον τὸν βίον μου Ἁγνή, φωτοφόροις προσταγαῖς τοῦ Κτίσαντος, ἵνα φθάσω Παρθένε, πρὸς φῶς τὸ οὐράνιον.

Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Ἀντίφωνον Α'.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δὶς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δὶς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ. (δὶς)

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς Αὐτοῦ θελήσει σφόδρα.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου

Ἦχος β΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς ὁ Ν΄ Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ... Ἦχος β'

Ταῖς τοῦ Σοῦ Ὁσίου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος πλ. β'

Ἀσκητικῶς πολιτευσάμενος, καὶ ἐντολαῖς τοῦ Σωτῆρος, εὐπειθῶς δουλεύσας, τῆς ἐν Αὐτῷ χαρᾶς ἠξίωσαι, Πατάπιε Πάτερ, καὶ ἀγγελικῆς ἀπολαύων στάσεως, τοῦ καρποῦ τῆς θεώσεως, ἐπαξίως μετέχεις· αὐτῆς καὶ ἡμᾶς ἀξίωσον, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου...*

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(δ')

*Ἐλέει καὶ οἰκτιρμοῖς...*

## ΚΑΝΟΝΕΣ

Οἱ Κανόνες· ὁ Προέρτιος
καὶ τοῦ Ἁγίου δύο·

Προεόρτιος.

Ὠδὴ α'. Ἦχος β'. Δεῦτε λαοί.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Χαρᾶς ἡμῖν, σήμερον προκαταγγέλλονται, ταμεῖα διανοίγεσθαι, καὶ ἀποκλείεσθαι, τῆς κατάρας αἱ λῦπαι, ἐν τῇ θείᾳ Συλλήψει, τῆς Θεομήτορος.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἄνθη τερπνά, σήμερον πιστοὶ δρεψάμενοι, ἐνθέων λόγων πλέξωμεν, τὸν προεόρτιον, στέφανον ἐγκωμίων, τὴν Παρθένον αἰνοῦντες, ἐν τῇ Συλλήψει αὐτῆς.

Ὠδὴ α'. Ἦχος πλ. δ'. τοῦ Ἁγίου
Ἁρματηλάτην Φαραώ.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ταῖς τῶν Ἀγγέλων συγχορεύων τάξεσι, καὶ τοῦ ἀδύτου φωτός, δαψιλῶς μετέχων, Ὅσιε Πατάπιε, τὸν νοῦν μου φωταγώγησον, φωτοφόροις λιταῖς σου, ὅπως ὑμνήσω μακάριε, τὴν ἀγγελικὴν πολιτείαν σου.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐξ Αἰγύπτου ὡς ἀστὴρ πολύφωτος, δι' ἰσαγγέλου ζωῆς, λάμψας ἐν τῷ κόσμῳ, Ὅσιος Πατάπιος, πανηγυρίσαι σήμερον, τὴν σεπτὴν αὐτοῦ μνήμην, τὴν Ἐκκλησίαν προτρέπεται· δεῦτε καὶ συνδράμωμεν ἅπαντες.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νόμῳ τῷ θείῳ μελετῶν Πατάπιε, ἀπὸ νεότητος ἀπηρνήσω πᾶσαν, κόσμου τὴν προσπάθειαν, καὶ βίον ὑπερκόσμιον, ἐν ἐρήμῳ ἀσκήσας, Ἀγγέλων ὤφθης ἐφάμιλλος, καὶ περιφανὴς τοῖς χαρίσμασι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον

Σεσαρκωμένον ἐξ ἁγνῶν αἱμάτων Σου, τὸν πρὶν ἀσώματον, καὶ ἄναρχον Λόγον, ὑπὲρ λόγον τέτοκας, Εὐλογημένη Πάναγνε, Θεοτόκε Παρθένε· ἐντεῦθεν πάντας ἀπήλλαξας, τῆς προγονικῆς ἀποφάσεως.

Τοῦ Ὁσίου.

Ἦχος β΄. Δεῦτε λαοί.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥώμην σοφέ, καὶ θείαν δύναμιν ἄνωθεν, ἐκ βρέφους ἐνδυσάμενος, πρὸς τῆς ἀσκήσεως, τοὺς ἀγῶνας προθύμως, καὶ πόνους ἀπεδύσω, Πάτερ Πατάπιε.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥώμην σοφέ, καὶ θείαν δύναμιν ἄνωθεν, ἐκ βρέφους ἐνδυσάμενος, πρὸς τῆς ἀσκήσεως, τοὺς ἀγῶνας προθύμως, καὶ πόνους ἀπεδύσω, Πάτερ Πατάπιε.

Δόξα...

Ἀποβαλών, ἅπασαν τὴν τῶν προσκαίρων ζωήν, καὶ κόσμον ἀρνησάμενος, τὴν ὑπερκόσμιον, νῦν ἀπείληφας δόξαν, ἧς ἔτυχες ἀσκήσει, σοφὲ Πατάπιε.

Καὶ νῦν... Θεοτοκίον.

Γένος βροτῶν, σήμερον τῆς ἀναπλάσεως, μηνύματα εἰσδέχεται, καὶ εὐαγγέλια, τὰ τῆς υἱοθεσίας, ἐν τῇ σῇ παρ' ἐλπίδα, Συλλήψει ἄχραντε.

Προεόρτιος. Ὠδὴ γ΄.

Ἦχος β΄. Στερέωσον ἡμᾶς.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σαλπίσωμεν φαιδρῶς εὐσήμως σήμερον, ἐνθέως καλοῦντες τὴν κτίσιν πᾶσαν, προεόρτιον εἰς αἴνεσιν, τῆς πανάγνου Μητρὸς θείας Συλλήψεως.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Αἱ θεῖαι δωρεαὶ καὶ τὰ χαρίσματα, προτείνονται σήμερον τοῖς ἀνθρώποις, δηλουμένης τῆς Συλλήψεως, τῆς αἰτίας τῶν ξένων χαρισμάτων Χριστοῦ.

Ὠδὴ γ΄. Τοῦ Ὁσίου. Ἦχος πλ. δ΄

Ὁ στερεώσας κατ' ἀρχάς.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁλοσχερῶς ἀκολουθῶν, ῥήσεσι θείαις θεόφρον, ἀπενέκρωσας σαρκὸς τὰς ὀρέξεις, καὶ ἐπλήσθης δωρεάν, ζωῆς τῆς ὑπὲρ ἔννοιαν, Πατάπιε τρισμάκαρ, καὶ ζωηφόρου ἐλλάμψεως.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νοΐ τελείῳ προχωρῶν, ἐπὶ τὰ ἔμπροσθεν Πάτερ, κουφιζόμενος τῇ θείᾳ ἀγάπῃ, τῆς ἐρήμου τὸ σκληρόν, ὡς ἄσαρκος ὑπήνεγκας, καὶ πάσας τοῦ δολίου, τὰς μηχανὰς καταβέβληκας.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πεπυρσευμένος τῷ φωτί, τῆς καθαρᾶς πολιτείας, περιβόητος τοῖς πᾶσιν ἐγένου, καὶ ἐκφεύγων τὸ κενόν, δοξάριον Πατάπιε, ὡς ξένος παρεγένου, ἐπὶ τὴν πόλιν τοῦ Βύζαντος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον

Ἀπειρογάμως ἐκ γαστρός, τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, ἀπεκύησας ἡμῖν Θεοτόκε, ἀνακτώμενον ἡμᾶς, ἐκ τῆς ἀρχαίας πτώσεως, δι' ἄκραν εὐσπλαγχνίαν· διὸ ὑμνοῦμεν τὴν δόξαν Σου.

Τοῦ Ὁσίου.
Ἦχος β΄.
Στερέωσον ἡμᾶς.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νεάζων τῆς ψυχῆς τῷ τόνῳ Ὅσιε, ἀρχαῖον πολέμιον διὰ πόνων, τῆς τὰ τοῦ ἀσκήσεως κατέβαλες, καὶ τὰ τούτου διήλεγξας βουλεύματα.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νεάζων τῆς ψυχῆς τῷ τόνῳ Ὅσιε, ἀρχαῖον πολέμιον διὰ πόνων, τῆς τὰ τοῦ ἀσκήσεως κατέβαλες, καὶ τὰ τούτου διήλεγξας βουλεύματα.

Δόξα Πατρί...

Οἱ πόνοι σου σοφὲ τῶν ἀντιδόσεων, τῶν θείων ἐνέχυρον ἀσφαλείας, τῶν θαυμάτων τὴν ἐπίλαμψιν, ἐν τῷ βίῳ παρέσχον σοι Πατάπιε.

Καὶ νῦν... Θεοτοκίον

Ἐλύθη τῶν βροτῶν ἡ πρώην στείρωσις, τῶν ἔργων λαμψάντων νῦν τῶν ἐνθέων, παρ' ἐλπίδα προελθούσης σου, ἐκ τῆς ἀγόνου καὶ στείρας Πανύμνητε.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις
*Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...*

Κάθισμα.
Ἦχος γ΄. Τὴν ὡραιότητα.

Πάθη τοῦ σώματος, θεομακάριστε, Πάτερ ἐξήρανας, δακρύων ῥεύματι, καὶ ἰαμάτων ποταμούς, ἀνέβλυσας Πατάπιε· ὅθεν προσερχόμενοι, τῷ τιμίῳ λειψάνῳ σου, χάριν τε καὶ ἔλεος, προφανῶς ἀρυόμεθα, τιμῶντές σου τὴν μνήμην ἀξίως, μάκαρ Πατάπιε θεόφρον.

Δόξα.
Ἦχος πλ. δ΄.
Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν πτωχείαν τοῦ Λόγου τοῦ δι' ἡμᾶς, ἐκ Παρθένου τεχθέντος ἀναλαβών, ἡγήσω τὰ πρόσκαιρα, ὡσεὶ χόρτον μακάριε· τοῦ γνωστικοῦ γὰρ ξύλου, γευσάμενος Ὅσιε, τῶν μοναστῶν ἐδείχθης, διδάσκαλος ἔνθεος· ὅθεν καὶ πρὸς ζῆλον, ἀγγελικῆς πολιτείας, διήγειρας ἅπαντας, τοῖς ἐνθέοις σου ῥήμασι, θεοφόρε Πατάπιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Προεόρτιον.
Ἦχος δ΄.
Ταχὺ προκατάλαβε.

Ἡ πύλη ἡ ἄβατος, νῦν συλλαμβάνεται, ἡ πόλις ἡ πάμφωτος, λάμψαι προέρχεται, ἡ μόνη Πανάχραντος, σήμερον δι' Ἀγγέλου, τοῖς Δικαίοις δηλοῦται· ὅθεν ἐν εὐφροσύνῃ, ἀνεβόων τῷ Κτίστῃ· καρπὸν ἡμῖν δώρησαι, τὴν ἀφθαρσίας πηγήν.

Κοντάκιον.

Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Τοῦ Παρακλήτου δοξασθεὶς τῇ θείᾳ χάριτι, τῶν ἰαμάτων ἀναβλύζεις τὰ δωρήματα, τῆς τῷ θείῳ σου λειψάνῳ προσερχομένοις. Ἀλλ' ὡς πάντων τὰ αἰτήματα δωρούμενος, πάσης θλίψεως καὶ νόσου ἀπολύτρωσαι,τοὺς βοῶντάς σοι· χαίροις, Πάτερ Πατάπιε.

Ἕτερον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τὸν λαόν σου Ἅγιε, πνευματικόν ἰατρεῖον, οἱ λαοὶ εὑράμενοι, μετὰ σπουδῆς προσιόντες, ἴασιν, τῶν νοσημάτων λαβεῖν αἰτοῦνται, λύσιν τε, τῶν ἐν τῷ βίῳ πλημμελημάτων· σὺ γὰρ πάντων τῶν ἐν ἀνάγκαις, προστάτης ὤφθης, Πατάπιε Ὅσιε.

Ὁ Οἶκος.

Ἡ σορός σου σοφέ, πᾶσι βρύει ἰάματα· ἐξ ὧν πιστοὶ ἀρυόμενοι σώζονται ἐκ νόσων πολλῶν, ψυχῶν καὶ σωμάτων, ὧνπερ ὁ τάλας ἐγὼ πεπείραμαι, ῥυσθεὶς τῶν θλιβόντων με· καὶ διὰ τοῦτο τὴν σὴν ἀντίληψιν νῦν ἀνευφημῶ καὶ διηγοῦμαι τρανῶς, πῶς ἐπιφθάνεις τοὺς ἐν ἀνάγκαις καὶ ἐκλυτροῦσαι πειρασμῶν, τοὺς προσιόντας σοι θερμῶς. Διὸ δίδου ἰσχύν μοι ἀνυμνεῖν σε· σὺ γὰρ πάντων τῶν ἐν ἀνάγκαις, προστάτης ὤφθης, Πατάπιε Ὅσιε.

Συναξάριον.

Τῇ Η' τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παταπίου.

Στίχοι

Φθαρτὸν λελοιπὼς Πατάπιε γῆς πάτον,
Πατεῖς, ὅπου πατοῦσι πραέων πόδες.
Ὀγδοάτῃ Πατάπιε χλόης πέδον ἀμφεπάτησας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, Σωσθένους, Ἀπολλώ, Κηφᾶ, Τυχικοῦ, Ἐπαφροδίτου, Καίσαρος, καὶ Ὀνησιφόρου.

Στίχοι

Ἀποστόλους σήμερον ἑπτὰ γεραίρω,
Ὡς γενναίους κήρυκας τοῦ Θεοῦ Λόγου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σωφρονίου, Ἐπισκόπου Κύπρου.

Στίχοι

Πᾶν Σωφρόνιος σαρκικὸν σβέσας πάθος,
Καὶ σαρκὸς αὐτῆς ἐξαπέπτη πηλίνης.

Ταῖς Ἁγίαις, πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ΚΑΤΑΒΑΣΙΑΙ

Ὠδὴ α'. Ἦχος α'.

Χριστὸς γεννᾶται δοξάσατε· Χριστὸς ἐξ οὐρανῶν ἀπαντήσατε· Χριστὸς ἐπὶ γῆς ὑψώθητε. Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί, ὅτι δεδόξασται.

Ὠδὴ γ'.

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀρρεύστως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Ὠδὴ δ΄.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς, Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετός, κατασκίου δασέος· ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄυλος καὶ Θεός. Δόξα τῇ δυνάμει Σου Κύριε.

Ὠδὴ ε΄.

Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης βουλῆς Σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν Σε, Φιλάνθρωπε.

Ὠδὴ ς΄.

Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο· τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος, καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον· ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Ὠδὴ ζ΄.

Οἱ Παῖδες, εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ' ἐν μέσῳ τῆς φλογός, ἑστῶτες ἔψαλλον· Ὁ τῶν πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον· οὐ γὰρ οὓς ἐδέξατο φλέγει νέους, ὡς οὐδὲ πῦρ τῆς Θεότητος, Παρθένου ἣν ὑπέδυ νηδύν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· Εὐλογείτω, ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ (Ἦχος α΄)

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία

Ὠδὴ θ΄.

Μεγάλυνον ψυχή μου, τὴν Τιμιωτέραν, καὶ ἐνδοξοτέραν, τῶν ἄνω στρατευμάτων.

Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον· οὐρανὸν τὸ σπήλαιον· θρόνον, χερουβικόν τὴν Παρθένον· τὴν φάτνην χωρίον, ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός· ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Συναπτὴ μικρά

καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

Ἐξαποστειλάριον.

Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὡς φωτοφόρος στῦλος, τῶν οὐρανίων ἀρετῶν, ἐκ Γερανείων Πάτερ, ὀρέων χάριτι Θεοῦ, Πατάπιε διαλάμπεις, ζωῆς ἁγίας τὸν πλοῦτον.

Ἕτερον. Ἦχος β΄

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Πατάξας τὸν Αἰγύπτιον, καὶ Ἀσσύριον ἄρδην, νοῦν τῶν παθῶν Πατάπιε, τῷ Χριστῷ θεοφόρε, κατηκολούθησας χαίρων, τὸν σταυρόν σου βαστάζων· τὸν Ἡλιοὺ δὲ Κάρμηλον, εἰκονίζων σὺ Πάτερ ἀσκητικῶς, τὰς ἐρήμους ᾤκησας καὶ πρὸς ὕψος, τῆς ἀπαθείας ἔφθασας, συγκρατηθεὶς τῇ Τριάδι.

Θεοτοκίον.

Ἦχος β΄

Τοῖς Μαθηταῖς συνέλθωμεν...

Λόγου Θεοῦ Μητέρα Σε, ἀνυμνοῦμεν σὺν πόθῳ, ἐν θεοπνεύστοις ᾄσμασι, Παναγία Παρθένε, οἱ διὰ Σοῦ σεσωσμένοι· νέμοις οὖν Θεοτόκε, τοῖς ἀναξίοις δούλοις Σου, ἱλασμὸν καὶ εἰρήνην καὶ φωτισμόν· ὅσα γὰρ θέλεις δύνασαι καὶ ἰσχύεις, ὡς πάντων οὖσα Δέσποινα, ὑπερένδοξε Κόρη.

ΑΙΝΟΙ . Ἦχος πλ. δ΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Εἶτα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν

Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος!

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Πάτερ θεόφρον Πατάπιε, τῆς ἐγκρατείας πυρί, τῶν παθῶν ὕλην ἅπασαν, ὡς καλάμην εὔπρηστον, καταφλέξας εἰσδέδεξαι, τοῦ Παρακλήτου τὴν θείαν ἔλλαμψιν, καὶ ἀπαθείᾳ, τὸ φῶς ἐξήστραψας· ὅθεν ἀπήλασας, τῶν δαιμόνων φάσματα, καὶ πρὸς τὸ φῶς, τῆς ζωῆς τὸ ἄδυτον, χαίρων ἀνέδραμες.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Πάτερ παμμάκαρ Πατάπιε, καταπατήσας ἐχθροῦ, φερωνύμως τὴν ἔπαρσιν, νίκης διαδήματι, οὐρανίῳ κεκόσμησαι· καὶ ἰαμάτων λαβὼν τὴν δύναμιν, ἐξ ἀνιάτων, παθῶν ἰάτρευσας, τοὺς προσελθόντας σοι, καὶ φθορᾶς ἀπήλλαξας δαιμονικῆς, ἴασιν δωρούμενος, ψυχῆς καὶ σώματος.

*Στίχ.* Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ὅσιε Πάτερ Πατάπιε, καθάπερ λύχνος λαμπρός, ἐν τῇ πόλει τοῦ Βύζαντος, μυστικῶς ἐξέλαμψας, ἀρετῶν τελειότητι· νῦν δὲ θαυμάτων ταῖς ἐπιλάμψεσι, ταῖς προϊούσαις, ἐκ τοῦ λειψάνου σου, πᾶσαν περίοικον, τῆς Κορίνθου Ἅγιε φωταγωγεῖς, καὶ παρέχεις ἅπασι, ῥῶσιν καὶ ἔλεος.

*Στίχ.* Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ὅσιε Πάτερ Πατάπιε τὴν σὴν ἁγίαν Μονὴν τὴν τὸ θεῖον σου λείψανον, ὡς σεπτὸν θησαύρισμα, ἱερῶς θησαυρίζουσαν, σκέπε καὶ σῷζε τῇ προστασίᾳ σου, ἐκ τῶν σκανδάλων τοῦ πολεμήτορος· τὴν σὴν γὰρ ἅγιε, πατρικὴν ἐκδέχεται, χάριν ἀεί, καὶ τῇ ἀντιλήψει σου, αὔξει καὶ σῴζεται.

Δόξα. *Ἦχος πλ. α΄.*

Ὅσιε Πάτερ, τῆς κοσμικῆς ἐκκλίνας τύρβης, δι' ἄκρας ἡσυχίας Θεῷ ἡνώθης, θεωθεὶς κατὰ μέθεξιν· ὑπεράνω γὰρ γεγονώς, πάσης αἰσθήσεως, τῶν ὑπὲρ φύσιν δωρεῶν ἠξιώθης, καὶ ὧν μετέσχες καλῶν, τοῖς ποθοῦσι μετέδωκας· καὶ νῦν ἡμᾶς ἁγιάζεις, τῷ ἁγίῳ λειψάνῳ σου, καὶ τῇ ἐξ αὐτοῦ χάριτι, μυσταγωγεῖς τὰ κρείττονα. Ἀλλ' ὡς τῆς ἄνω ζωῆς μέτοχος, Πατάπιε Ὅσιε, πρέσβευε τυχεῖν καὶ ἡμᾶς, τῆς θείας μακαριότητος.

Καὶ νῦν.

*Θεοτοκίον Προεόρτιον.*
*Ἦχος πλ. α΄.*

Μὴ στύγναζε Ἰωσήφ, καθορῶν μου τὴν νηδύν· ὄψει γὰρ τὸ τικτόμενον ἐξ ἐμοῦ καὶ χαρήσει, καὶ ὡς Θεὸν προσκυνήσεις, ἡ Θεοτόκος ἔλεγε τῷ ἑαυτῆς μνηστῆρι, μολοῦσα τοῦ τεκεῖν τὸν Χριστόν. Ταύτην ἀνυμνήσωμεν λέγοντες· χαῖρε Κεχαριτωμένη, μετὰ Σοῦ ὁ Κύριος, καὶ διὰ Σοῦ μεθ' ἡμῶν.

*Δοξολογία Μεγάλη. Ἦχος πλ. α΄*

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Ἀπολυτίκιον τῆς ἑορτῆς.*

*Ἦχος πλ. α'*

*Τὸν Συνάναρχον Λόγον.*

Ἐξ Αἰγύπτου ἐκλάμψας Πάτερ Πατάπιε, ἐν Βυζαντίῳ ἐμπρέπεις τῇ ἰσαγγέλῳ ζωῇ, καὶ ὡς θεῖον θησαυρὸν ἡμῖν δεδώρησαι, τὸ λείψανόν σου τὸ σεπτόν, ἀναβλύζον μυστικῶς, τὴν χάριν τοῦ Παρακλήτου, τοῖς τῇ ἁγίᾳ Μονῇ σου, προσερχομένοις μετὰ πίστεως.

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

## ΑΝΤΙΦΩΝΑ (*τῆς ἑορτῆς*)

*Ἀντίφωνον Α'*

*Ἦχος β'.*

Στίχ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ

τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β΄. Ἦχος β΄.

Στίχ. Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρω-θείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄

Ἦχος πλ. α΄.

Στίχ. α΄. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.

Ἐξ Αἰγύπτου ἐκλάμψας Πάτερ Πατάπιε, ἐν Βυζαντίῳ ἐμπρέπεις τῇ ἰσαγγέλῳ ζωῇ, καὶ ὡς θεῖον θησαυρὸν ἡμῖν δεδώρησαι, τὸ λείψανόν σου τὸ σεπτόν, ἀναβλύζον μυστικῶς, τὴν χάριν τοῦ Παρακλήτου, τοῖς τῇ ἁγίᾳ Μονῇ σου, προσερχομένοις μετὰ πίστεως.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.

Ἐξ Αἰγύπτου ἐκλάμψας Πάτερ Πατάπιε, ἐν Βυζαντίῳ ἐμπρέπεις τῇ ἰσαγγέλῳ ζωῇ, καὶ ὡς θεῖον θησαυρὸν ἡμῖν δεδώρησαι, τὸ λείψανόν σου τὸ σεπτόν, ἀναβλύζον μυστικῶς, τὴν χάριν τοῦ Παρακλήτου, τοῖς τῇ ἁγίᾳ Μονῇ σου, προσερχομένοις μετὰ πίστεως.

Μικρὰ Εἴσοδος.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός, (ὁ β΄ χορὸς) ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.

Ἐξ Αἰγύπτου ἐκλάμψας Πάτερ Πατάπιε, ἐν Βυζαντίῳ ἐμπρέπεις τῇ ἰσαγγέλῳ ζωῇ, καὶ ὡς θεῖον θησαυρὸν ἡμῖν δεδώρησαι, τὸ λείψανόν σου τὸ σεπτόν, ἀναβλύζον μυστικῶς, τὴν χάριν τοῦ Παρακλήτου, τοῖς τῇ ἁγίᾳ Μονῇ σου, προσερχομένοις μετὰ πίστεως.

Ἕτερον. Ἦχος α΄.

Γερανείων τὸ κλέος, Κορινθίας τὸ καύχημα, καὶ μοναζουσῶν νῦν προστάτης, ἀνεδείχθης Πάτερ Πατάπιε. Ἀσκήσεσι, νηστείαις προσευχαῖς, νῦν ἔχεις παρρησίαν πρὸς Θεόν, ἀδιαλείπτως ἱκετεύειν ὑπὲρ ὑμῶν, τῶν κατακρίτων δούλων σου. Δόξα τῷ δοξασθέντι διὰ σοῦ, δόξα τῷ σὲ ἐνισχύσαντι, δόξα τῷ φωτίσαντι ἡμᾶς, διὰ τῆς σῆς ἀσκήσεως.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον

Προεόρτιον τῆς Χριστοῦ Γεννήσεως.

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἡ Παρθένος σήμερον τὸν προαιώνιον Λόγον ἐν σπηλαίῳ ἔρχεται ἀποτεκεῖν ἀπορρήτως. Χόρευε, ἡ οἰκουμένη, ἀκουτισθεῖσα· δόξασον μετὰ ἀγγέλων καὶ τῶν ποιμένων, βουληθέντα ἐποφθῆναι παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.(γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΟΥ ΑΓΙΟΥ ΠΑΤΑΠΙΟΥ

Προκείμενον. Ἦχος βαρύς.

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. 5:22-6:2

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν Πνεύματι, Πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες. Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Ἀλληλούϊα. (γ΄) Ἦχος πλ. β΄.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Στίχ. Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τό Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικόν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ἦχος β᾽

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

ἦχος β΄

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων

Καλλιτεχνικὴ ἐπιμέλεια

ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη

Ἱεροψάλτη

στὸν Ι.Ν. Ἁγίου Γεωργίου

Κουλούρας Βέροιας.